16 ἐγὼ ἤμην πατὴρ ἀδυνάτων,
δίκην δέ, ἣν οὐκ ᾔδειν, ἐξιχνίασα·
17 συνέτριψα δὲ μύλας ἀδίκων,
ἐκ δὲ μέσου τῶν ὀδόντων αὐτῶν ἅρπαγμα ἐξέσπασα.
18 εἶπα δέ Ἡ ἡλικία μου γηράσει,
ὥσπερ στέλεχος φοίνικος πολὺν χρόνον βιώσω·
19 ※ἡ ῥίζα μου διήνοικται ἐπὶ ὕδατος,
※καὶ δρόσος αὐλισθήσεται ἐν τῷ θερισμῷ μου·
20 ※ἡ δόξα μου καινὴ μετ᾽ ἐμοῦ,
※καὶ τὸ τόξον μου ἐν χειρὶ αὐτοῦ πορεύσεται.↙
21 ἐμοῦ ἀκούσαντες προσέσχον,
ἐσιώπησαν δὲ ἐπὶ τῇ ἐμῇ βουλῇ·
22 ἐπὶ δὲ τῷ ἐμῷ ῥήματι οὐ προσέθεντο,
περιχαρεῖς δὲ ἐγίνοντο, ὁπόταν αὐτοῖς ἐλάλουν·
23 ὥσπερ γῆ διψῶσα προσδεχομένη τὸν ὑετόν,
οὕτως οὗτοι τὴν ἐμὴν λαλιάν.
24 ἐὰν γελάσω πρὸς αὐτούς, οὐ μὴ πιστεύσωσιν,
※καὶ φῶς τοῦ προσώπου μου οὐκ ἀπέπιπτεν·
25 ※ἐξελεξάμην ὁδὸν αὐτῶν καὶ ἐκάθισα ἄρχων
※καὶ κατεσκήνουν ὡσεὶ βασιλεὺς ἐν μονοζώνοις ὃν τρόπον
παθεινοὺς παρακαλῶν.↙

30 1 νυνὶ δὲ κατεγέλασάν μου,
ἐλάχιστοι νῦν νουθετοῦσίν με ἐν μέρει,
※ὧν ἐξουδένουν πατέρας αὐτῶν,↙
οὓς οὐχ ἡγησάμην εἶναι ἀξίους κυνῶν τῶν ἐμῶν νομάδων.
2 ※καί γε ἰσχὺς χειρῶν αὐτῶν ἵνα τί μοι;
※ἐπ᾽ αὐτοὺς ἀπώλετο συντέλεια
3 ※ἐν ἐνδείᾳ καὶ λιμῷ ἄγονος·
※οἱ φεύγοντες ἄνυδρον ἐχθὲς συνοχὴν καὶ ταλαιπωρίαν,
4 ※οἱ περικλῶντες ἅλιμα ἐπὶ ἠχοῦντι,↙
οἵτινες ἅλιμα ἦν αὐτῶν τὰ σῖτα,
ἄτιμοι δὲ καὶ πεφαυλισμένοι, ἐνδεεῖς παντὸς ἀγαθοῦ,

$17^2$ δε > B† | μεσων S (ν deleuit Sc uid.) | των > A | εξηρπασα BS*† || $18^1$ δε > A† | η > SA | $18^2$ πολυν] + δε A† (trahit ωσπερ στελ. φοιν. ad $18^1$) || $19^1$ μου > BS | $19^2$ εν] επι A† || $20^2$ μου] αυτου A† | αυτου] μου La† | πορευσεται] σ > BS || $21^1$ εμου ακουσ.] πρεσβυτεροι ακουσ. μου A† || $22^1$ δε > BS† | $22^2$ περιχ. δε] και περιχ. A†: cf. 3 12 | οποτε A† || $23^1$ τον > A† | $23^2$] + προσεδεχοντο A† || $24^1$ εαν γελ.] ει εγελων A† | ου μη πιστ.] ουκ επιστευεν(pro -ον) A† || $25^2$ παθεινους] ποθ. Sc†, συνπαθεις A†, πενθικους Gra.: cf. 30 31 | παρακαλων B*S*A La†] παρεκαλουν BcSc Sy rel.

30 $1^2$ ελαχ. ad $1^1$ trahunt AC | $1^3$ πατερας] pr. τους BSA† | $1^4$ ειναι αξιους pl.] tr. A, ειναι > BS† || $4^1$ περικλωντες pau.] -κυκλουντες BSA | $4^2$ οιτινες] ων A† | $4^3$ δε] τε A† | παντος > A†

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/322 UNIVERSITÄT LEIPZIG